*Ion quizzes Creusa about her husband and their reasons for consulting the oracle*

| | |
|---|---|
| Ἴων | πόσις δὲ τίς σ᾽ ἔγημ᾽ Ἀθηναίων, γύναι; |
| Κρέουσα | οὐκ ἀστός, ἀλλ᾽ ἐπακτὸς ἐξ ἄλλης χθονός. |
| Ἴων | τίς; εὐγενῆ νιν δεῖ πεφυκέναι τινά. |
| Κρέουσα | Ξοῦθος, πεφυκὼς Αἰόλου Διός τ᾽ ἄπο. |
| Ἴων | καὶ πῶς ξένος σ᾽ ὢν ἔσχεν οὖσαν ἐγγενῆ; |
| Κρέουσα | Εὔβοι᾽ Ἀθήναις ἔστι τις γείτων πόλις... |
| Ἴων | ὅροις ὑγροῖσιν, ὡς λέγουσ᾽, ὡρισμένη. |
| Κρέουσα | ταύτην ἔπερσε Κεκροπίδαις κοινῷ δορί. |
| Ἴων | ἐπίκουρος ἐλθών; κᾆτα σὸν γαμεῖ λέχος; |
| Κρέουσα | φερνάς γε πολέμου καὶ δορὸς λαβὼν γέρας. |
| Ἴων | σὺν ἀνδρὶ δ᾽ ἥκεις ἢ μόνη χρηστήρια; |
| Κρέουσα | σὺν ἀνδρί. σηκοὺς δ᾽ ἐκστρέφει Τροφωνίου. |
| Ἴων | πότερα θεατὴς ἢ χάριν μαντευμάτων; |
| Κρέουσα | κείνου τε Φοίβου θ᾽ ἓν θέλων μαθεῖν ἔπος. |
| Ἴων | καρποῦ δ᾽ ὕπερ γῆς ἥκετ᾽, ἢ παίδων πέρι; |
| Κρέουσα | ἄπαιδές ἐσμεν, χρόνι᾽ ἔχοντ᾽ εὐνήματα. |
| Ἴων | οὐδ᾽ ἔτεκες οὐδὲν πώποτ᾽, ἀλλ᾽ ἄτεκνος εἶ; |
| Κρέουσα | ὁ Φοῖβος οἶδε τὴν ἐμὴν ἀπαιδίαν. |
| Ἴων | ὦ τλῆμον, ὡς τἄλλ᾽ εὐτυχοῦσ᾽ οὐκ εὐτυχεῖς. |

Euripides Ion 289-307
1B 1 2005

φερναί, αἱ - dowry
σηκός, ὁ - precinct